*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

**************************************************************

**Δρος Χαραλάμπους Μ. Μπούσια**
**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΗΣ ΕΙΣ ΠΑΤΡΙΑΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΧΕΙΡΟΤΟΝΙΑΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

*

*

* * * * *

*

*

**Ἀθῆναι 2013**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΗΣ ΕΙΣ ΠΑΤΡΙΑΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

## ΧΕΙΡΟΤΟΝΙΑΣ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

**Ἡ μνήμη αὐτῆς τελεῖται τῇ ΙΕ΄ Δεκεμβρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**********************************************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Πανεορτίως τὴν μνήμην
χειροτονίας σου
εἰς Πατριάρχην, μάκαρ,
Βασιλίδος τελοῦντες
δοξάζομεν ἐκθύμως τὸν Λυτρωτήν,
Ἰωάννη Χρυσόστομε,
ἀναβιβάσαντα θρόνον εἰς τὸν σεπτὸν
σὲ τῆς Κωνσταντινουπόλεως.

Θεοειδὲς Ἰωάννη,
σῆς ἀναῤῥήσεως
ἐπέτειον εἰς θρόνον
τῆς κλεινῆς Βασιλίδος,
Χρυσόστομε, τελοῦντες ὕμνοις φαιδροῖς
καταστέφομεν μνήμην σου
τὴν ἱερὰν καὶ πανέορτον καὶ σεπτὴν
μελιῤῥύτων ὕμνων ἄνθεσι.

Ἀδικουμένων προστάτην,
πενήτων στήριγμα

καὶ ἀρωγὸν καμνόντων,
Κωνσταντίνου τὸν θρόνον
τῆς πόλεως ὁρῶμεν νῦν τὸν σεπτόν,
Ἰωάννην Χρυσόστομον,
καταλαμβάνοντα πάντων πρὸς χαρμονὴν
τῶν πιστῶν καὶ ἀγαλλίασιν.

Ῥητόρων τὸν ἀκρεμόνα,
Πατέρων ἔκτυπον
καὶ θείων διδασκάλων
κορυφὴν ἐπαινοῦντες
ὡς στῦλον Ἐκκλησίας φωτολαμπῆ,
Ἰωάννην Χρυσόστομον,
εἰς Πατριάρχου τὸν θρόνον ἦμαρ αὐτοῦ
ἀνυμνοῦμεν ἀναῤῥήσεως.

**Δόξα. Ἦχος δ΄.**

Δεῦτε πιστοὶ ἐπαγαλλόμενοι πανηγυρίσωμεν
τὴν ἐπέτειον τῆς εἰς Πατριάρχην Κωνσταντινουπόλεως
χειροτονίας τοῦ Χρυσοῤῥήμονος Ἰωάννου
ἐν κατανύξει κραυγάζοντες·
Θεοπρόβλητε καὶ λαοπρόβλητε Ἱεράρχα,
ὁ ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν
καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος,
ὁ τὸν Οἰκουμενικὸν θρόνον ἀγλαΐσας,
μὴ παύσῃ τοῦ Κυρίου δεόμενος
ὑπὲρ τῶν ἐκθύμως τιμώντων σε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε...

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Μνήμην σου ἱερὰν
σεπτῆς χειροτονίας
εἰς θεῖον Πατριάρχην
τελοῦμεν, Ἰωάννη,
θεοειδὲς Χρυσόστομε.

**Στίχος.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

**Θ**ρόνου, Ἀρχιερεῦ,
τῆς Νέας Ῥώμης εὖχος,
θεόφρον Ἰωάννη,
τῆς σῆς χειροτονίας
νῦν μνήμην ἑορτάζομεν.

**Στίχος.** Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.

**Σ**ήμερον οἱ πιστοὶ
ἐπέτειον ἡμέραν
τῆς ἀναῤῥήσεως σου
εἰς Βασιλίδος θρόνον
τελοῦμεν, Χαριτώνυμε.

**Δόξα. Τριαδικόν.**

**Δ**όξα Σοι, ὁ Θεός,
Χρυσόστομον ὁ δείξας
Σῆς ποίμνης Πατριάρχην,
Τριὰς ὑπεραγία,
πανένδοξε καὶ σύνθρονε.

**Καὶ νῦν. Θεοτοκίον.**

**Χ**αῖρε, Μῆτερ Θεοῦ,
προστάτις Βασιλίδος
τῶν πόλεων, ἡ νίκας
Υἱοῦ σου δωρουμένη
λαῷ σὲ μεγαλύνοντι.

Νῦν ἀπολύεις... **τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

********************************************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

**Τ**ὴν ἐπέτειον σήμερον
σῆς σεπτῆς ἀναῤῥήσεως

Κωνσταντινουπόλεως εἰς τὸν ἔνδοξον
θρόνον τελοῦντες, Χρυσόστομε,
τιμίους ἀγῶνάς σου
μεγαλύνομεν λαμπρῶς
πρὸς δικαίου κατάκτησιν
καὶ κατήχησιν
τοῦ λαοῦ τοῦ κειμένου ἐν σκοτίᾳ
ἀγνωσίας, Ἱεράρχα,
πηγὴ ἀκένωτε γνώσεως.

Ὅτε θεῖος Νεκτάριος
Βασιλίδος ὁ Πρόεδρος
βιοτὴν ἀπέλιπε τὴν ἐπίγειον,
τότε ὁ Ἄναξ Ἀρκάδιος
τῇ ψήφῳ, Χρυσόστομε,
τῶν σεπτῶν Ἱεραρχῶν
εἰς τὸν θρόνον κατέστησε
ταύτης, ἔνδοξε
Χρυσοῤῥῆμον, ἐκ τῆς Ἀντιοχείας
τῆς Μεγάλης, Ἰωάννη,
Πάτερ Πατέρων πανεύφημε.

Καθαρότητα βίου σου
καὶ ἁγνείαν Μελέτιος
τῆς Ἀντιοχείας γνοὺς ὁ Ἐπίσκοπος
εἰς Ἐκκλησίας Διάκονον
σὲ ἐχειροτόνησε
καὶ σεμνὸς Φλαβιανὸς
ὁ ἐκείνου διάδοχος
εἰς Πρεσβύτερον,
Ἰωάννη Χρυσόστομε, ὁ θρόνον
τὸν σεπτὸν κατακοσμήσας
τοῦ Κωνσταντίνου τῆς Πόλεως.

Τὰ σεπτά σου χαρίσματα,
δι’ ὧν Πνεῦμα τὸ Ἅγιον
δαψιλῶς σε, Πάτερ σοφέ, ἐπροίκισεν,
ἡ φήμη τῆς εὐγλωττίας σου
καὶ τῆς εὐποιΐας σου
Ἱεράρχας εὐσεβεῖς
παρεκίνησαν, Ἅγιε,
εἰς ἀνάῤῥησιν

σοῦ εἰς θρόνον σεπτὸν τῆς Νέας Ῥώμης,
ὃν ἐκλέϊσας σοῖς λόγοις
καὶ ἀρετῇ σου, Χρυσόστομε.

Τὴν Γραφὴν τὴν θεόπνευστον
ἑρμηνεύσας, θεόσοφε,
καὶ συντάξας λόγους πολλούς, Χρυσόστομε,
περὶ ἠθῶν καταστάσεως,
Θεοῦ ἐπιγνώσεως,
μετανοίας σωστικῆς
καὶ χορείας στηρίξεως,
λαοφίλητε,
τῶν κακῶς καὶ στυγνῶς ἀδικουμένων,
ἐξελέγης Πατριάρχης
ἀξίως, θεοειδέστατε.

Ἀσκητῶν ὡς ὁ ἔσχατος
καὶ ὡς πένης τὸν δόλιχον
βίου σου διήνυσας, ὁσιώτατε,
θρόνον Κωνσταντινουπόλεως,
τρισμάκαρ Χρυσόστομε,
ὁ πλουτήσας θαυμαστῶς
εὐλαβεῖ ποιμασίᾳ σου
καὶ κενότητι
σῆς καρδίας ταῖς χρείαις τῶν πενήτων,
Ἱεράρχα Χρυσοῤῥῆμον,
Χριστοῦ πτωχείας ὑπέρμαχε.

**Δόξα. Ἦχος πλ. β΄.**

Δεῦτε πιστοί, τὸν ψήφῳ κανονικῇ τῶν Ἐπισκόπων
καὶ προστάξει τοῦ αὐτοκράτορος Ἀρκαδίου
μεταπεμφθέντα ἐξ Ἀντιοχείας εἰς Κωνσταντινούπολιν,
ἐν ᾗ ἐχειροτονήθη καὶ κατεστάθη Πατριάρχης τοῦ γένους,
Ἰωάννην, μακαρίσωμεν, τὸν Χρυσόστομον, οὕτω λέγοντες·
Ὁ περικοσμήσας τὸν ἄμβωνα τῆς Βασιλίδος διδασκαλίαις σου
καὶ τὴν λογικήν σου ποίμνην ἀγαθοεργίαις σου,
ἐκτενῶς ὑπὲρ ἡμῶν δυσώπει τὸν φιλάνθρωπον Κύριον
τῶν ἑορταζόντων τὴν εἰς Ἐπίσκοπον χειροτονίαν σου ἐν ᾄσμασι.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. δ΄ 10 - 19)**

Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς οὐ κοπιάσεις. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου. Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων· ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ᾿ αὐτῶν καὶ παράλλαξον. Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν, ἀφῄρηται ὁ ὕπνος αὐτῶν καὶ οὐ κοιμῶνται· οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα· αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προσκόπτουσιν.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδείς· μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
### Ἰδιόμελα.

**Ἦχος α΄.**

Σέ, τὸν συντάξαντα κρείττονος ἀριθμοῦ λόγους
περὶ τῆς μετανοίας καὶ τῆς ἐν ἤθεσι καταστάσεως
καὶ πᾶσαν τὴν Γραφὴν ἑρμηνεύσας, Ἰωάννη Χρυσόστομε,
ἀξιοχρέως μακαρίζομεν
καὶ τὴν εἰς Ἐπίσκοπον χειροτονίαν σου ἑορτάζομεν λέγοντες·
Κωνσταντινουπόλεως Πρόεδρε καὶ τῆς οἰκουμένης διδάσκαλε,
ὁ συγκινήσας πάντας πρὸς εὐσέβειαν τοὺς ἀκροατάς σου,
πρόσδεξαι ἡμῶν τὸ ἐγκώμιον
καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Πανηγυρικῶς ἑορτάζοντες τὴν ἐπέτειον
τῆς κανονικῆς σου χειροτονίας εἰς Ἐπίσκοπον
καὶ τῆς ἀναῤῥήσεώς σου εἰς τῆς Βασιλίδος τὸν θρόνον
μακαρίζομέν σε, Ἰωάννη Χρυσόστομε·
Ὡς οὖν παῤῥησίαν ἔχων πρὸς Κύριον
μὴ παύσῃ Αὐτοῦ δεόμενος, θεηγόρε,
ὑπὲρ τῶν τιμώντων σε μελιῤῥύτοις ἐν ᾄσμασι.

**Ἦχος γ΄.**

Τὸν ἐξ Ἀντιοχείας παμφαέστατον φωστῆρα,
φωτίσαντα τὴν Βασιλίδα καὶ πᾶσαν τὴν οἰκουμένην

ἀκτῖσι τῶν χρυσοφαῶν αὐτοῦ ῥημάτων,
Ἰωάννην μέλψωμεν τὸν Χρυσόστομον, πιστῶς βοῶντες·
Ὁ κατακοσμήσας τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν
ποιμαντικοῖς σου μαργαρίταις
καὶ σαπφείροις ῥητορικῆς σου δεινότητος,
ὡράϊσον εὐχαῖς σου τὸν βίον τῶν τιμώντων σου
τὴν ἐπέτειον τῆς εἰς Ἐπίσκοπον χειροτονίας σου, παναγιώτατε.

**Ἦχος δ΄.**

Τὸν ἐξορίας ὑπομείναντα διὰ τὸν ἔλεγχον τῶν ἀνομούντων
καὶ ἐν ὑπερορίᾳ τὸ ζῆν ἐκμετρήσαντα,
παμμέγιστον διδάσκαλον τῆς Ἐκκλησίας,
Ἰωάννην τιμήσωμεν, τὸν χρυσοῤῥήμονα Πατριάρχην,
ἐν ἀγαλλιάσει βοῶντες·
Ὁ τῇ μαχαίρᾳ τῶν λόγων σου
συγκόψας ἀδίκων τὸ ἐπηρμένον φρύαγμα,
ὁδὸν δικαίου ἀξίωσον ἡμᾶς διανύειν
τοὺς ἑορτάζοντας πίστει τὴν εἰς Ἐπίσκοπον χειροτονίαν σου.

**Δόξα. Ὁ αὐτός.**

Τὸν ἐξ ὕψους τοῦ θεολογικοῦ αὐτοῦ ἄμβωνος
ἑλκύσαντα πρὸς ὕψος αἰωνίου ἀγαλλιάσεως
τὴν ἔλλογον τοῦ Ὑψίστου ποίμνην,
Ἰωάννην τὸν χρυσοῦν ἔχοντα στόμα καὶ καρδίαν,
ἐν εὐλαβείᾳ τιμήσωμεν λέγοντες·
Ὁ ἀπολαύων τοῦ ἀῤῥήτου τῆς θεώσεως ὕψους
καὶ Ἀγγέλοις συναγαλλώμενος,
μὴ παύσῃ Κυρίου δεόμενος ὑπὲρ τῶν ἑορταζόντων
τὴν ἐπέτειον τῆς εἰς Ἐπίσκοπον χειροτονίας σου.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, ὁ λαμπροφόρος φωστὴρ
τῆς οἰκουμένης, Ἰωάννη Χρυσόστομε,
ἀκτῖσί σου διδαγμάτων,
νουθεσιῶν ἱερῶν,
λόγων χρυσεπόνων
καὶ ἐλέγξεως

ἀνόμων τῶν πράξεων,
ἀδικούντων, πανεύφημε,
στυγνῶν καὶ φαύλων,
Ἀρχιθῦτα θειότατε
καὶ πανθαύμαστε
Βασιλίδος Ἐπίσκοπε,
οὗ εἰς αὐτῆς ἀνάῤῥησιν
τὸν θρόνον νῦν μέλπομεν
ψήφοις τῆς Ἱεραρχίας
κανονικαῖς, ἐνθεώτατε,
τοῦ ἄμβωνος κλέος,
χρυσολόγε θεοῤῥῆμον,
περιφανέστατε.

**Στίχος.** Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

**Χ**αίρει τοῖς σοῖς σπαργάνοις, σοφέ,
ἡ Ἀντιόχεια, ἡ πόλις ἡ εὔσημος,
Χρυσόστομε Ἱεράρχα,
καμάτοις ποιμαντικοῖς
ἡ ἐν τῷ Βοσπόρῳ
Βασιλεύουσα
καὶ θείοις σου ῥήμασιν
Ἐκκλησία ἡ πάνσεπτος
τοῦ Θεανθρώπου
Ἰησοῦ, ἡ νῦν ἄγουσα
τὴν ἐπέτειον,
μάκαρ, χειροτονίας σου
εἰς Ἀρχιθύτην ἔνδοξον
Κωνσταντινουπόλεως,
θεοειδὲς Ἰωάννη,
τῶν διδασκάλων ἀκρώρεια
καὶ χριστοκηρύκων
πνευματοκινήτων στόμα
χρυσοφαέστατον.

**Στίχος.** Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.

**Δ**εῦτε, τῶν εὐσεβῶν οἱ χοροὶ
πανηγυρίσωμεν τὴν θείαν ἐπέτειον
ἐν πίστει χειροτονίας

εἰς Ἀρχιθύτην σεπτὸν
Χρυσοστόμου πάνυ
ὑφηγήτορος
καὶ τῆς καταστάσεως
τούτου εἰς θρόνον ἔνδοξον
τῆς Βασιλίδος
εὐλαβῶς ἀνακράζοντες·
Πάτερ Ἅγιε,
χρυσοῤῥῆμον διδάσκαλε,
ὁ διελέγξας ἄνασσαν
τὴν ἄδικον, πρέσβευε
Χριστῷ, Θεῷ τῷ δικαίῳ
πέμψαι ἡμῖν μέγα ἔλεος
τοῖς σὲ ἀνυμνοῦσι,
θεοφόρε, Ἱεράρχην
ὡς λαοφίλητον.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τὸν τὴν πτωχείαν τοῦ Χριστοῦ ἀγαπήσαντα
καὶ τὸ σῶμα ἀσκητικοῖς κατορθώμασι σκληραγωγήσαντα,
Ἰωάννην τὸν Χρυσόστομον ἐγκωμίων καταστέψωμεν ἄνθεσιν·
οὗτος γὰρ ὑπέρμαχος ὀφθεὶς τῶν πτωχῶν καὶ πενήτων
καὶ πολλοὺς πλουτίσας τοῖς αὐτοῦ θεοσόφοις ῥήμασι,
χάριν εὗρε πρεσβεύειν Κυρίῳ
ὑπὲρ τῶν τιμώντων ἐν ὕμνοις
αὐτοῦ τὴν εἰς Ἐπίσκοπον χειροτονίας ἐπέτειον.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις....**τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον·**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Θεοκήρυκα πάντες τὸν χρυσοῤῥήμονα,
τῆς ταπεινώσεως βάθρον
καὶ ὕψος ἤθους χρηστοῦ,
Ἰωάννην τὸν Χρυσόστομον, τιμήσωμεν
ὡς ἀρετῆς χρυσοῦν φανὸν
καὶ φωστῆρα χρυσαυγῆ
ἀγάπης πρὸς τὸν πλησίον,
πιστῶν φωτίζοντα δήμους
αὐτοῦ λιταῖς τοὺς καταφεύγοντας.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

**************************************************

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Χρυσοῦς ὁ τῇ ψυχῇ
καὶ τῷ στόματι, μάκαρ
Χρυσόστομε, χρυσοῖς
φθέγμασί σου ἀγέλην
Κυρίου ἐπλούτισας
λογικήν σου καὶ ὅμιλον
κατεπτώχευσας
τῶν ἀνομούντων καὶ φαύλων,
οὗ ἀνάῤῥησιν
εἰς Βασιλίδος τὸν θρόνον
τελοῦμεν γηθόμενοι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἡ νίκας τῷ λαῷ
δωρουμένη Υἱοῦ σου
κατὰ τῶν ἀσεβῶν
καὶ ἀπίστων, Παρθένε,
σεμνὴ Παμμακάριστε,
Θεοτόκε πανύμνητε,
ἐπιβράβευσον
ἡμῖν ἰσχὺν τοῖς ἐν πίστει
μεγαλύνουσι
σὲ ὡς ἡμῶν παραστάτιν
καὶ σκέπην καὶ πρόμαχον.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἐξῆλθεν ὁ φθόγγος σου
ὡς ἀστραπὴ εἰς τὴν γῆν
καὶ λόγων σου δύναμις

σοφῶν ὡς σάλπιγξ τερπνὴ
σαφῶς περιήχησε
πᾶσαν τὴν οἰκουμένην,
Βασιλίδος Ἐπόπτα,
οὗ εἰς αὐτῆς τὸν θρόνον
τὴν ἀνάῤῥησιν ὕμνοις
τιμῶμεν μελιῤῥύτοις, Χριστοῦ
πίστεως σέμνωμα.

**Δόξα. Ὁ αὐτός. Καὶ νῦν. Θεοτοκίον.**

Τῶν ὄντων ἐν θλίψεσι
καὶ λυπηροῖς πλατυσμόν,
Παρθένε πανύμνητε,
Θεογεννῆτορ σεμνή,
θεόθεν ἐπόπτευε
πάντας τοὺς ὑμνητάς σου
καὶ βοήθει ἐν δίναις
πᾶσι τοῖς εἰς αἰῶνας
μεγαλύνουσι πίστει
τὴν σκέπην σου πρὸς πάντας ἡμᾶς
καὶ προστασίαν σου.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Περιφραξάμενον ὅπλοις τῆς πίστεως
καὶ γενναιότητι ψυχῆς σου ἔλυσας
αἱρετιζόντων τὴν πληθὺν καὶ στῖφος τῶν ἀνομούντων,
Ἰωάννην, κλεΐσμα Βασιλίδος, γεραίρομεν,
οὗ εἰς θρόνον ἄνοδον ταύτης νῦν ἑορτάζομεν
ἐν ἄκρᾳ εὐλαβείᾳ βοῶντες· Χαῖρε, Χρυσόστομε παμμάκαρ.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
**Στίχος.** Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.

**Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. ιβ΄ 8 -12 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ...
**Ζήτει τῇ στ΄ Νοεμβρίου.**

**Ὁ Ν΄ Ψαλμός.**
**Δόξα.** Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον,..
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὸν ἀντλήσαντα νάματα σοφίας
ἐκ τῶν πηγῶν τοῦ σωτηρίου
καὶ δι' αὐτῶν ἀρδεύσαντα πᾶσαν τὴν οἰκουμένην,
Ἰωάννην, ὡς ῥεῖθρον διειδέστατον Ὀρθοδόξου διδασκαλίας,
οἱ διψῶντες δικαιοσύνην καὶ γνῶσιν ἀληθείας, τιμήσωμεν
ἐν ἀγαλλιάσει βοῶντες·
Χρυσόστομε παναγιώτατε,
δίδαξόν με τὴν σῴζουσαν εὐσέβειαν
τὸν ἑορτάζοντα σήμερον τὴν εἰς Ἐπίσκοπον χειροτονίαν σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ Ἀκροστιχίς·**

**" Ἀρχιερεῖ Ἰωάννῃ Χρυσοστόμῳ ὕμνος. Χ. Μ. Μ."**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ἀξίως, Χρυσόστομε,
τοῦ Κωνσταντίνου τῆς Πόλεως
τὸν θρόνον κατέλαβες
Ἱεραρχῶν τῇ σεπτῇ
ψήφῳ, ἔνθεε,
καὶ ἄνακτος προστάξει,
ὃν λόγοις ἐκόσμησας,
πάτερ, καὶ πράξεσι.

Ῥεόντων, Χρυσόστομε,
ὡς ὑπερόπτην ἐξέλεξεν
ὁ ἄναξ Ἀρκάδιος
σὺν κλήρῳ τῷ ἱερῷ
θρόνον Πόλεως
κοσμῆσαι Κωνσταντίνου
ὡς Ἀρχιεπίσκοπον
λαοφιλέστατον.

Χρυσόστομε πάνσοφε,
τῆς Ἐκκλησίας ὡράϊσμα,
λαμπρῶς ἑορτάζομεν
χειροτονίαν τὴν σὴν
εἰς Ἐπίσκοπον
καὶ εἰς τῆς Βασιλίδος
τὸν θρόνον ἀνάῤῥησιν,
ἐλλογιμώτατε.

**Θεοτοκίον.**

Ἱλέωσαι Τόκον σου
ἡμῖν τοῖς σὲ μακαρίζουσι,
πανύμνητε Δέσποινα,
Θεογεννῆτορ σεμνή,
ὕμνοις πρέπουσιν
ὡς πάντων Χριστωνύμων
θερμὸν καταφύγιον
ἐν περιστάσεσι.

**ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ἐκ πόλεως τῆς Ἀντιοχείας,
ὁ πάντων πτωχῶν ὑπερμαχῶν,
Χρυσόστομε, ἀνάργυρε,
ἀμίαντε, ἀμόλυντε
καὶ κῆρυξ διαπρύσιε,
εἰς Βασιλίδα κατήντησας.

Ῥυθμίζων σοῖς θεοπνεύστοις λόγοις
καὶ σαῖς θεοσόφοις διδαχαῖς,
Χρυσόστομε, τὴν ἔλλογον
Κυρίου ποίμνην πέφηνας

ψυχῶν θεράπων ἄριστος
καὶ ἰατρὸς ἑτοιμότατος.

Εἰς πᾶσαν τὴν γῆν ὡς φῶς ἐξῆλθεν
ὁ φθόγγος λαμπρῶν σου διδαχῶν,
Χρυσόστομε θεόσοφε,
τῆς Κωνσταντινουπόλεως
Ἀρχιερεῦ πανίερε,
φωτίζων κόσμου τὰ πέρατα.

**Θεοτοκίον.**

Ἱκάνωσον, Κεχαριτωμένη
Παρθένε, σοὺς δούλους ἀνελθεῖν
τῶν ἀρετῶν τὴν κλίμακα
καὶ φθάσαι εἰς τελείωσιν,
τοὺς καθ' ἑκάστην σπεύδοντας
τῇ ἀῤῥαγεῖ προστασίᾳ σου.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Εἰς Ἐπίσκοπον χειροτονίαν
ὑφηγήτορος τῆς εὐσεβείας
καὶ μεγίστου διδασκάλου τῆς πίστεως,
τῆς Βασιλίδος σεπτοῦ ἀρχιποίμενος
καὶ ὑπερμάχου πτωχῶν ὁμηγύρεως
ὕμνοις μέλψωμεν Χρυσόστομον τὸν πανεύφημον,
Χριστοῦ τὸν μαργαρίτην θείας πίστεως.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μῆτερ ἄχραντε τοῦ Ζωοδότου,
καταφύγιον ἐμπεριστάτων,
θλιβομένων παραμύθιον ἔνθερμον,
τῶν ἀδυνάτων ἡ θεία ἐνίσχυσις
καὶ κλονουμένων θεόσδοτον στήριγμα,
καθαγίαζε τοὺς πίστει σοι καταφεύγοντας
καὶ πόθῳ μεγαλύνοντάς σε, Δέσποινα.

**ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Ἱεράρχα Βασιλίδος
θεοῤῥῆμον, Χρυσόστομε,

ὁ ἐλέγξας φαύλους
καὶ ἀδίκους ἅρπαγας φθέγμασι
σοῖς στηλιτεύσας, μνημόνευε προσφύγων σου
εἰς Ἐπίσκοπον
χειροτονίαν τιμώντων σου.

Ὥσπερ χείμαῤῥον σοφίας
τοῦ Θεοῦ εὐφημοῦντές σε,
μάκαρ Χρυσοῤῥῆμον,
πάντας τὸν δροσίζοντα λόγοις σου
νῦν τὴν ἐπέτειον ὕμνοις ἑορτάζομεν
εἰς Ἐπίσκοπον
χειροτονίαν σου, ἔνθεε.

Ἀκατάβλητον ὁ ἔχων
σθένος, πάτερ Χρυσόστομε,
ἐν ταῖς τρικυμίαις
καὶ ταῖς ζοφεραῖς περιστάσεσιν
ἤγειρας τρόπαιον νίκης, χαριτώνυμε,
παμφαέστατον
ἐν Βασιλίδι τῶν Πόλεων.

**Θεοτοκίον.**

Νῦν ὡς πάντων Χριστωνύμων
ἀρωγὸν καὶ ὑπέρμαχον
μεγαλύνομέν σε,
Κεχαριτωμένη Μητρόθεε,
καὶ καταφεύγομεν πόθῳ θείᾳ σκέπῃ σου,
ἀντιλήψει σου
καὶ ἀῤῥαγεῖ προστασίᾳ σου.

**ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Νεφέλη ὡς πάμφωτος
πιστοὺς ἐπισκιάζουσα
ὤφθης, χρυσοῤῥῆμον Ἰωάννη,
τοῦ Παρακλήτου
ὅλην τὴν αἴγλην σαφῶς
δεξάμενος· ὅθεν τῷ φωτὶ
ἐντρυφῶντες λόγων σου
ἄχθους λύομεν ζόφωσιν.

Ἡ θεία ἐπέτειος
σεπτῆς χειροτονίας σου
εἰς τῆς Βασιλίδος Πατριάρχην
κινεῖ τὴν γλῶτταν
ἡμῶν εἰς αἶνον λαμπρὸν
τῆς σῆς πανασπίλου βιοτῆς
καὶ ποιμαντορίας σου
θεαρέστου, Χρυσόστομε.

Χαρίτων τοῦ Πνεύματος
τὴν πλημμυρίδα δέδειξαι
ὅλην, Ἰωάννη, ἐν καρδίᾳ,
ἀνοίξαντός σου
τὸ στόμα πρὸς ἀσεβῶν
στηλίτευσιν καὶ πρὸς εὐσεβῶν
στήριξιν· διόπερ νῦν
ἐγκωμίοις σε στέφομεν.

**Θεοτοκίον.**

Ῥεόντων ὑπέρτερον
τὸν δοῦλόν σου, Μητρόθεε,
δεῖξον, πόθῳ μεγαλύνοντά σε
ὡς λαμπηδόνα
τῆς συμπαθείας βροτῶν,
στενόντων ἐν βίου πειρασμοῖς,
Δέσποινα πανύμνητε,
καὶ δειναῖς περιστάσεσι.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὑλομανούσας, Χρυσόστομε,
ἀρούρας τῶν ψυχῶν γεωργίᾳ σου
λόγων ἐκάθηρας
καὶ καρποφόρους ἀνέδειξας
τῷ ὑετῷ, τρισμάκαρ,
αὐτὰς σῆς χάριτος.

Σοφίαν ἀπεταμίευσας
τὴν θείαν ἐν ταμείῳ καρδίας σου,
πάτερ Χρυσόστομε,
χειροτονίας ἐπέτειον

οὗ σήμερον τελοῦμεν
ψαλμοῖς καὶ ᾄσμασι.

Οἱ δῆμοι νῦν, χαριτώνυμε,
εἰς Κωνσταντινουπόλεως σήμερον
χειροτονίας σου
σεπτὸν Ποιμένα ἐπέτειον
τιμῶντες γεγηθότες
σὲ μακαρίζομεν.

**Θεοτοκίον.**

Σωφρόνως, Μῆτερ, οἰκέτας σου,
δικαίως, Θεοτόκε πανύμνητε,
πάντας ἀξίωσον
καὶ εὐσεβῶς τοὺς ὑμνοῦντάς σε
ὡς παρθενίας βάθρον
ἀδιατάρακτον.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Χεροτονίας σου ἐπέτειον τὴν πάνσεπτον
εἰς Πατριάρχην Βασιλίδος ἑορτάζοντες,
Χρυσοῤῥῆμον χαριτώνυμε, Ἰωάννη,
ἀνομούντων ἐλεγκτὴν ὥσπερ δριμύτατον
καὶ πενήτων στηριγμὸν σὲ μεγαλύνομεν
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Χρυσόστομε.

**Ὁ Οἶκος.**

Ἄγγελοι ἐν τῷ πόλῳ
συνεώρτασαν δήμοις
πιστῶν χειροτονίαν σεπτήν σου
εἰς Ἐπίσκοπον, θεοειδές,
Κωνσταντίνου, πάτερ θαυμαστέ, Πόλεως,
Χρυσόστομε τρισμέγιστε,
πρὸς ὃν πανευλαβῶς φωνοῦμεν·

Χαῖρε, ἀκρότης τῆς εὐγλωττίας·
χαῖρε, φαιδρότης τῆς Ἐκκλησίας.

Χαῖρε, τῆς ἀῤῥήτου σοφίας ὁ ἔμπλεως·
χαῖρε,τῆς ἀφθίτου εὐκλείας ὁ μέτοχος.

Χαῖρε, Κωνσταντινουπόλεως ὁ ἐπόπτης ὁ σεπτός·
χαῖρε, ἀνυστάκτου δράσεως Ἱεράρχης ὁ σοφός.

Χαῖρε, ἀδικουμένων ἀληθῶς ὁ προστάτης·
χαῖρε, διδασκομένων ὁ σεμνὸς ὑποφήτης.

Χαῖρε, ῥητόρων πάμφωτος ἥλιος·
χαῖρε, πατέρων λύχνος ἀείφωτος.

Χαῖρε, τὸ εὖχος τῆς Ἀντιοχείας·
χαῖρε, τὸ φέγγος ἀγαθοεργίας.

Χαίροις, μάκαρ Χρυσόστομε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΕ΄ Δεκεμβρίου· εἶτα λέγομεν·**

Τῇ αὐτῇ ἡμέρᾳ τὴν ἐπέτειον ἑορτάζομεν τῆς εἰς Ἐπίσκοπον χειροτονίας τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Ἰωάννου τοῦ Χρυσοστόμου.

**Στίχοι.**

Θεοπρόβλητε ἱερομῦστα, θρόνον
ἐκλέϊσας, Χρυσόστομε, Βασιλίδος.

**Συναξάριον.**

Ὁ μέγας ἐν διδασκάλοις καὶ ἁγιώτατος ἐν Ἱεράρχαις Ἰωάννης ὁ Χρυσόστομος, τὸ τοῦ Παρακλήτου σκεῦος τὸ χρυσοσμίλευτον καὶ πατέρων θεοσόφων τὸ χρυσοπόρφυρον σέλας, ἐγεννήθη ἐν Ἀντιοχείᾳ μεσοῦντος τοῦ τετάρτου αἰῶνος. Ὁ πατὴρ αὐτοῦ, στρατηγὸς Σεκοῦνδος, πιστὸν τῆς Ἐκκλησίας μέλος, σὺν τῇ εὐλαβεστάτῃ καὶ ὁσιωτάτῃ μητρὶ αὐτοῦ, Ἀνθούσῃ, ἐξέθρεψαν τὸν Ἰωάννην ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Μετὰ τὰς ἐν Ἀντιοχείᾳ σπουδὰς τοῦ Χρυσοστόμου ὑπὸ τὸν Λιβάνιον καὶ ἐν Ἀθήναις ἐπανέκαμψεν εἰς Ἀντιόχειαν καὶ ἀποσυρθεὶς εἰς τὴν ἔρημον παρέμεινεν ἐπὶ πενταετίαν θεοφιλῶς ἀσκούμενος, μελετῶν τὰς Ἁγίας Γραφὰς καὶ σχολάζων ἐν προσευχαῖς καὶ δεήσεσι. Ἀσθενήσας ἐν τῇ ἐρήμῳ ἐπανῆλθεν εἰς Ἀντιόχειαν καὶ προεχειρίσθη εἰς διάκονον ὑπὸ Μελετίου, τοῦ ἐνθεωτάτου Πατριάρχου καὶ ἀργότερον ὑπὸ τοῦ διαδόχου αὐτοῦ Φλαβιανοῦ εἰς πρεσβύτερον. Ἐν τῇ ἱερατικῇ αὐτοῦ διακονίᾳ ἀνέπτυξε τὸ δοθὲν αὐτῷ τάλαντον καὶ ἀνέδειξε τὰ αὐτὸν κοσμοῦντα χαρίσματα τοῦ Παναγίου Πνεύματος, ἤτοι ζῆλον πύρινον καὶ εὐγλωττίαν ἐν τοῖς κηρύγμασι

πρωτοφανῆ. Ἔσειε τὰ πλήθη τῆς Ἀντιοχείας καὶ συνεκίνει τὰς ψυχὰς αὐτοῦ βαθύτατα. Διαπλωθεῖσα ἡ φήμη αὐτοῦ μέχρι τῆς Βασιλευούσης ἀνεβίβασεν αὐτὸν εἰς τὸν ὕψιστον θρόνον τῆς Κωνσταντινουπόλεως κοινῇ ψήφῳ τοῦ βασιλέως Ἀρκαδίου καὶ τοῦ ἱεροῦ κλήρου τῇ 15η Δεκεμβρίου τοῦ σωτηρίου ἔτους 397.

Αὐστηρὸς ἀσκητὴς καὶ ἀδυσώπητος ἐλεγκτὴς πάσης παρανομίας καὶ κακίας ὁ Χρυσόστομος ἀπέκτησε φοβεροὺς ἐχθρούς, καὶ δὴ τὴν αὐτοκράτειραν Εὐδοξίαν, ἥτις, συγκαλέσασα Σύνοδον ἐκ τριάκοντα καὶ ἓξ Ἐπισκόπων ἐν τῇ κώμῃ Δρῦς τῆς Χαλκηδόνος, ἐπέτυχε τὴν καθαίρεσιν καὶ ἀποπομπὴν αὐτοῦ ἔν τινι χωρίῳ τῆς Βιθυνίας. Ἡ τοιαύτη ὅμως ἀπόφασις ἐξηρέθισε τὰ πλήθη, ὥστε ἠναγκάσθη αὐτὴ αὕτη ἡ Εὐδοξία ἀνακαλέσαι ἐκ τῆς ἐξορίας τὸν ὑπέρμαχον τῆς εὐσεβείας καὶ δικαιοσύνης. Αὕτη ἀποκατέστησε τὸν Ἰωάννην εἰς τὸν θρόνον αὐτοῦ δι’ ἑτέρας συνοδικῆς ἀθῳωτικῆς ἀποφάσεως ἐν ἔτει 402. Πάλιν ὅμως ὁ γενναῖος μαχητὴς τῆς πίστεως λέγων ὅτι ὁ λόγος τοῦ Κυρίου οὐ δέδεται ἐξωρίσθη εἰς Κουκουσὸν τῆς Ἀρμενίας καὶ ἐκεῖθεν εἰς Κόμανα, ὅπου καὶ τὸ ζῆν ἐξεμέτρησεν ἐν ἔτει 407 καὶ ἐτάφη ἐν τῷ Ναῷ τοῦ Μάρτυρος Βασιλίσκου. Ἐξ αὐτοῦ τὸ ἱερὸν αὐτοῦ σκῆνος μετεκομίσθη εἰς τὴν Βασιλεύουσαν ἐν ἔτει 438 ὑπὸ τοῦ ἁγιωτάτου Πατριάρχου Πρόκλου. Πᾶς ὁ λαὸς τῆς Βασιλευούσης ἔδραμεν εἰς ὑπάντησιν αὐτοῦ καὶ αὐτὸς ὁ αὐτοκράτωρ Θεοδόσιος ὁ Β΄ ἦλθεν ἕως τῆς Χαλκηδόνος πρὸς τοῦτο. Ἡ τιμία θήκη τῶν χαριτοβρύτων τοῦ Ἁγίου Ἱεράρχου λειψάνων ἐτέθη ἐπὶ τοῦ Συνθρόνου ἐνώπιον τοῦ δακρύοντος πλήθους τοῦ ἐν ἐξάλλῳ καταστάσει φωνοῦντος· «Ἀπόλαβε τὸν θρόνον σου, Ἅγιε»!

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Τὴν ἐπέτειον
σεπτῆς χειροτονίας σου
νῦν ἑορτάζοντες
τῶν Χριστωνύμων χοροὶ
εἰς Ἀρχιεπίσκοπον,
σοφὲ Χρυσόστομε,
τὸν κοσμήσαντα
κλεινὴν Κωνσταντινούπολιν,
μακαρίζομεν σε πόθῳ.

Οὐρανόφοιτε
Χρυσόστομε, τιμῶντές σε

ὡς Ἀρχιποίμενα
τῆς Βασιλίδος σεπτόν,
εἰς θρόνον πανένδοξον
αὐτῆς ἐπέτειον
ἀναῤῥήσεως
νῦν πίστει ἑορτάζομεν
φιλεόρτων αἱ χορεῖαι.

Μακαρίζομεν
ἀπαύστως σε, Χρυσόστομε,
νοῦν τὸν οὐράνιον,
στόμα χρυσοῦν ἀληθῶς
κηρῦττον συστήμασι
βροτῶν μετάνοιαν,
καὶ κατάῤῥυτον
χειμάῤῥουν θείας γνώσεως,
Βασιλίδος Πατριάρχα.

**Θεοτοκίον.**

Ὡς ὀλέτειραν
ἐχθρῶν σε μακαρίζομεν,
Θεογεννήτρια,
καὶ ὡς πιστῶν στηριγμόν,
σεμνὴ ἀειπάρθενε,
τὴν ἐποπτεύουσαν
τοὺς οἰκέτας σου
ἀπαύστως ἐξ εὐκλείας σου,
Μῆτερ, ὕψους τοῦ ἀῤῥήτου.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ὕμνοις σε τιμῶντες, χρυσολόγε,
ἀστέρα ὡς χρυσαυγέστατον τῆς πίστεως,
κόσμον τὸν χρυσώσαντα
ταῖς χρυσοειδέσι σου
ἀκτῖσι λόγων, ἔνθεε,
καὶ ἐμφαιδρύναντα
πιστῶν τῇ λαμπροτέρᾳ χρυσίου
γλώσσῃ σου χορείας,
τρισμάκαρ Χρυσοῤῥῆμον.

Μάκαρ, Ἐκκλησίας κοσμιότης,
Χρυσόστομε Ἰωάννη, χαριτώνυμε,
ἱκετῶν σου μέμνησο
τῆς χειροτονίας σου
τελούντων νῦν ἐπέτειον
εἰς Ἀρχιποίμενα
τῆς πόλεως τῆς Βασιλευούσης,
ψήφῳ Ἐπισκόπων
κανονικῇ, θεόφρον.

Νῦν σε, Ἰωάννη, ἀνυμνοῦντες
μεγάφωνον ὥσπερ σάλπιγγα, Χρυσόστομε,
θεϊκοῦ κηρύγματος
πόθῳ ἑορτάζομεν
εἰς Κωνσταντινουπόλεως
θρόνον ἀνάῤῥησιν
σὴν πάμφωτον, σεπτὲ Ἀρχιθῦτα,
ταχινὲ ἐν βίῳ
προασπιστὰ πενήτων.

**Θεοτοκίον.**

Ὅλη σε καρδίᾳ, Θεοτόκε,
οἱ δῆμοι τῶν Χριστωνύμων μεγαλύνομεν,
Παναγία Δέσποινα,
Μῆτερ εὐσυμπάθητε
ἡμῶν καταφευγόντων σοι
ἐν περιστάσεσι
καὶ βίου ταῖς ἀνάγκαις, Παρθένε,
Κεχαριτωμένη,
Ἀγγέλων ὑπερτέρα.

**ᾨδὴ θ΄. Ἅπας γηγενής.**

Σέ, Ἀρχιερεῦ,
Κωνσταντινουπόλεως
ἄναξ Ἀρκάδιος,
ἱερέ, προσέταξε
ἐλθεῖν εἰς πόλιν
τὴν Βασιλεύουσαν
κανονικῇ, Χρυσόστομε,
ψήφῳ, ἀοίδιμε,

Ἐπισκόπων
καὶ κοσμῆσαι ἤθει σου
θρόνον ταύτης καὶ λόγοις πανσόφοις σου.

Χαῖρε, ἀσκητὰ
Κωνσταντινουπόλεως
εὐσήμου Πρόεδρε,
θεαυγὲς Χρυσόστομε,
ὁ κατατήξας
ἀσκήσει σάρκα σου,
βοῶντες ἑορτάζομεν
χειροτονίας σου
θεαρέστου
τὴν λαμπρὰν ἐπέτειον,
Ἰωάννη, εἰς Ἀρχιεπίσκοπον.

Μέλπομεν ἀεὶ
ψυχῆς σου εὐσθένειαν,
δι᾽ ἧς διήλεγξας
ἀσεβοῦντας ἅπαντας
καὶ ἀδικοῦντας
λαόν, Χρυσόστομε,
καὶ πόθῳ ἑορτάζομεν
χειροτονίαν σου,
Ἰωάννη,
εἰς σεπτὸν Ἐπίσκοπον
τῆς εὐάνδρου Κωνσταντινουπόλεως.

**Θεοτοκίον.**

Μῆτερ τοῦ Θεοῦ,
πανύμνητε Δέσποινα,
εὐλόγει ἅπαντας
σὲ τοὺς μακαρίζοντας
καὶ καθ᾽ ἑκάστην
σοὶ καταφεύγοντας
ἐν θλίψεσι, στενώσεσι
καὶ περιστάσεσιν
ἱκεσίαις
θείου Χρυσοῤῥήμονος
Ἰωάννου, φιλοῦντος τὸν Τόκον σου.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Χρυσόστομε, ἐπέτειον
σεπτῆς χειροτονίας σου
εἰς Ἱεράρχην τιμῶντες
καὶ σὴν ἀνάῤῥησιν, μάκαρ,
εἰς Κωνσταντινουπόλεως
τὸν θρόνον εὐφημοῦμέν σε
ὡς τῶν πτωχῶν ὑπέρμαχον,
λόγοις κοσμήσαντα θείοις
τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν.

**Θεοτοκίον.**

Ὡς Βάτον ἀκατάφλεκτον,
χρυσοῦν Θυματήριον,
Κλίμακα θείαν καὶ Πόκον
ὡς προετύπουν Προφῆται
ἀεί σε μεγαλύνομεν,
Θεογεννῆτορ ἄχραντε,
οἱ εὐλαβῶς προσπίπτοντες
σῇ ἀῤῥαγεῖ προστασίᾳ
καὶ ἀντιλήψει καὶ σκέπῃ.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος!**

Πάτερ ἱερέ, Χρυσόστομε,
χειροτονίας τῆς σῆς
ἑορτάζοντες σήμερον
μνήμην εἰς Ἐπίσκοπον
καὶ Κωνσταντινουπόλεως
εἰς θρόνον, πάτερ,
λαμπρὰν ἀνάῤῥησιν,
τῶν Χριστωνύμων
σὲ μακαρίζομεν
δῆμοι ἑκάστοτε
ὥσπερ θεοπρόβλητον, λαοφιλῆ
καὶ σεμνὸν τῆς πίστεως
ἱεροφάντορα.

**Π**άτερ θεαυγές, Χρυσόστομε,
ψήφοις ταῖς κανονικαῖς
Ἐπισκόπων καὶ ἄνακτος
τῇ προστάξει, Ἅγιε,
Ἀρκαδίου κατέλαβες
τῆς Βασιλίδος
πασῶν τῶν πόλεων
θρόνον τὸν θεῖον,
ὅνπερ ἐκλέϊσας
ποιμαντορίας σου
ἀρεταῖς, διδάγμασι
τοῖς σοῖς σοφοῖς
καὶ ἀμέμπτῳ βίῳ σου,
πνευματοφόρητε.

**Π**άτερ θαυμαστέ, Χρυσόστομε,
διαδεχθεὶς τὸν σεπτὸν
Ἀρχιθύτην Νεκτάριον
Κωνσταντινουπόλεως,
Ἰωάννη, κατέδειξας
ψυχῆς σου σθένος,
ἰσχὺν καὶ δύναμιν
τῇ λογικῇ σου
ἀγέλῃ, ἔνθεε,
οὗ ἑορτάζομεν
τῆς χειροτονίας σου νῦν τῆς σεπτῆς
εἰς Ἀρχιεπίσκοπον
λαμπρὰν ἐπέτειον.

**Χ**αίροις, εὐσθενὲς Χρυσόστομε,
ὁ ὑπομείνας στεῤῥῶς
δι’ ἀνόμου διέλεγχον
βασιλίδος, ἄλκιμε,
ἐξορίαν κατώδυνον
καὶ τῶν πενήτων
ὀφθεὶς ὑπέρμαχος,
ἀδικουμένων
προστάτης ἄγρυπνος
καὶ τῶν ἐν κλύδωσιν
ἀρωγὸς κραυγάζομεν σὴν ἑορτὴν

τῆς χειροτονίας σου
τελοῦμεν ᾄσμενοι.

**Δόξα. Ἦχος πλ. α΄.**

Τὸν ἐμπορευσάμενον καλῶς τὸ λαβὼν θεόθεν τάλαντον,
καὶ πλοῦτον προσενεγκόντα τῷ Κυρίῳ ἀσύλητον
τὰς ψυχὰς τῆς λογικῆς τῆς Ἐκκλησίας ἀγέλης,
Ἰωάννην ὑμνήσωμεν τὸν Χρυσόστομον,
ἐν εὐλαβείᾳ ψάλλοντες·
Δεῖξον ἡμᾶς πλουσίους εἰς ἀρετὰς καὶ πτωχοὺς εἰς ἀνομήματα,
τοὺς ἑορτάζοντας σήμερον τὴν ἐπέτειον
τῆς εἰς Ἐπίσκοπον χειρορονίας σου, Ἱεράρχα,
καὶ ἐκδεχομένους τὰς θεοπειθεῖς ἱκεσίας σου.

**Καὶ νῦν. Θεοτοκίον.**
Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

**********************************************

# ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἱεράρχου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· Πρὸς Ἑβραίους (Κεφ. ζ΄ 26- η΄ 2).**
Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς...
**Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου.**

**Εὐαγγέλιον· κατὰ Ἰωάννην (Κεφ. ι΄ 9 - 16).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ἐγώ εἰμι ἡ θύρα...
**Ζήτει τῇ ΙΓ΄ Νοεμβρίου.**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

Δεῦτε, ἑορτάσωμεν εὐλαβῶς
τὴν ἐπέτειον σου
εἰς Ἐπίσκοπον, χρυσαυγές,
τῆς χειροτονίας,
Ἐπόπτα Βασιλίδος,
Χρυσόστομε, σοφίας
ἔμπνουν κειμήλιον.

**Δίστιχον.**

**Χρυσοστόμου ὕμνησε χειροτονίαν**
**Χρυσοστόμης σεμνῆς χάριν Χαραλάμπης.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι  Δ Ο Ξ Α**

**Τ Ω  Μ Ο Ν Ω  Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω  Η Μ Ω Ν**

**Ἀριθμ. Καταλ. 656 / 5-2-13**